# ΕΡΓΑ

# ΘΡΗΣΚΕΥΤΙΚΑ

Γ. ΛΑΜΠΑΚΗ

«['Αποκ. κβ'. 16]»

ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΠΑΡΑΣΚΕΥΑ ΛΕΩΝΗ

1893

ΕΡΓΑ

# ΘΡΗΣΚΕΥΤΙΚΑ

Γ. ΛΑΜΠΑΚΗ

«[Ἀποκ. κβ΄. 16]»

ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΠΑΡΑΣΚΕΥΑ ΛΕΩΝΗ

1893

ΑΡΧΕΙΟ ΟΙΚΟΓΕΝΕΙΑΣ ΛΑΜΠΑΚΗ

« [ Α΄. Βασ. ιστ΄. 12–13 ] »

# ΟΛΓΑι

ΤΗι

ΠΟΛΥΣΕΠΤΩι ΒΑΣΙΛΙΣΣΗι

ΤΩΝ ΕΛΛΗΝΩΝ

ΙΕΡΟΝ

ΑΡΧΕΙΟ ΟΙΚΟΓΕΝΕΙΑΣ ΛΑΜΠΕΛΗ

# ΙΚΕΤΗΡΙΟΣ ΔΕΗΣΙΣ

## ΕΠΙ ΤΗι ΕΝΑΡΞΕΙ ΤΟΥ ΝΕΟΥ ΕΤΟΥΣ

[Μετάφρασις ἐκ τοῦ ἐπισήμου κειμένου (αωπς΄.) τῆς Ἁγιωτάτης Συνόδου πασῶν τῶν Ῥωσσιῶν].



«Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, καὶ τὰ πεδία σου πλησθήσονται πιότητος»

(Ψαλμ. ξδ΄. 12).

**Μετὰ τὸ τέλος τῆς Θείας Λειτουργίας (1) ὁ Διάκονος λέγει·**

Εὐλόγησον Δέσποτα·

ΙΕΡΕΥΣ. Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων (2).

ΧΟΡΟΣ. Ἀμήν,

ΑΝΑΓΝΩΣΤΗΣ. Δεῦτε προσκυνήσωμεν γ΄. εἶτα·

### Ψαλμὸς ξδ΄.

Σοὶ πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιών, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ.

Εἰσάκουσον προσευχῆς μου. Πρὸς σὲ πᾶσα σὰρξ ἥξει.

Λόγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς. Καὶ ταῖς ἀσεβείαις ἡμῶν σὺ ἱλάσῃ.

(1) Ἡ τάξις αὕτη ἐν τῷ Ἀθήνῃσι Ἀνακτορικῷ Ναῷ τελεῖται τὴν ἑσπέραν τῆς 31 Δεκεμβρίου μετὰ τὴν ἀκολουθίαν τοῦ Ὄρθρου.

(2) Τὸ Σλαυϊκὸν κείμενον ἀντὶ τοῦ «Εὐλογητὸς ὁ Θεὸς» ἔχει «Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρός . . .»

Μακάριος ὃν ἐξελέξω, καὶ προσελάβου, κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου, πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου. Ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.

Ἐπάκουσον ἡμῶν ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν.

Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ, περιεζωσμένος ἐν δυναστείᾳ. Ὁ συνταράσσων τὸ κῆτος τῆς θαλάσσης. Ἤχους κυμάτων αὐτῆς τίς ὑποστήσεται;

Ταραχθήσονται τὰ ἔθνη, καὶ φοβηθήσονται οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου. Ἐξόδους πρωΐας καὶ ἑσπέρας τέρψεις.

Ἐπεσκέψω τὴν γῆν, καὶ ἐμέθυσας αὐτήν. Ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν.

Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων· ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία.

Τοὺς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα αὐτῆς. Ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα.

Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, καὶ τὰ πεδία σου πλησθήσονται πιότητος.

Πιανθήσονται τὰ ὡραῖα τῆς ἐρήμου, καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται.

Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων, καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον· κεκράξονται, καὶ γὰρ ὑμνήσουσιν.

**Δόξα καὶ νῦν· Ἀλληλούϊα** (τρίς).

**Εἶτα τοῦ χοροῦ ἀποκρινομένου τὸ** «*Κύριε ἐλέησον*». **ὁ Διάκονος λέγει:**

ΕΝ εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.



Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου Οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ, εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (**τοῦ δεῖνος**), τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ Κλήρου, καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ Θεοσεβεστάτου καὶ Φιλοχρίστου Βασιλέως ἡμῶν **Γεωργίου** τοῦ Α΄, τῆς Εὐσεβεστάτης Βασιλίσσης ἡμῶν **Ὄλγας**, καὶ τῶν Εὐσεβεστάτων Βασιλοπαίδων **Κωνσταντίνου** τοῦ Διαδόχου μετὰ τῆς Συζύγου Αὐτοῦ **Σοφίας**, καὶ τοῦ Υἱοῦ Αὐτῶν **Γεωργίου· Γεωργίου, Νικολάου, Μαρίας, Ἀνδρέου,** καὶ **Χριστοφόρου,** τοῦ Μεγάλου Δουκὸς **Παύλου,** καὶ τῶν Τέκνων Αὐτοῦ **Μαρίας** καὶ **Δημητρίου,** παντὸς τοῦ Παλατίου καὶ τοῦ στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ κατευοδῶσαι **αὐτοὺς** ἐν παντί, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας **αὐτῶν** πάντα ἐχθρὸν καὶ πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἐν ἐλέει προσδέξασθαι τὴν νῦν εὐχαριστίαν καὶ δέησιν ἡμῶν, τῶν ἀναξίων Αὐτοῦ δούλων, εἰς τὸ ὑπερουράνιον Αὐτοῦ θυσιαστήριον, καὶ εὐσπλάγχνως ἐλεῆσαι ἡμᾶς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ γενέσθαι τὴν δέησιν ἡμῶν εὐπρόσδεκτον, καὶ συγχωρῆσαι ἡμῖν καὶ παντὶ τῷ λαῷ πάντα τὰ ἁμαρτήματα

ἑκούσιά τε καὶ ἀκούσια, τὰ ἐν τῷ παρελθόντι ἔτει κακῶς ὑφ' ἡμῶν πραχθέντα, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐλογῆσαι τὴν ἀρχὴν καὶ διάρκειαν τοῦ ἐνιαυτοῦ τούτου, φιλανθρώπῳ Αὐτοῦ Χάριτι, καὶ καιροὺς εἰρηνικοὺς καὶ εὐκράτους ἀέρας καὶ ἀναμάρτητον βίον, ἐν ὑγιείᾳ ἐπαρκῆ ἡμῖν δωρήσασθαι, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀποστρέψαι ἀφ' ἡμῶν πᾶσαν τὴν ὀργὴν Αὐτοῦ, τὴν ἕνεκα τῶν ἁμαρτιῶν ἡμῶν, δικαίως καθ' ἡμῶν κινουμένην, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀποδιῶξαι ἀφ' ἡμῶν πάντα τὰ ψυχοφθόρα πάθη καὶ τὰς διεφθαρμένας συνηθείας, καὶ ἐμφυτεῦσαι εἰς τὰς καρδίας ἡμῶν τὸν θεῖον Αὐτοῦ φόβον πρὸς ἐκπλήρωσιν τῶν ἐντολῶν αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀνακαινίσαι ἐν τοῖς ἐγκάτοις ἡμῶν τὸ εὐθὲς Πνεῦμα, καὶ στηρίξαι ἡμᾶς ἐν τῇ Ὀρθοδόξῳ πίστει, καὶ ποιῆσαι ἡμᾶς σπεύδοντας πρὸς ἐργασίαν καλῶν ἔργων, καὶ ἐκπλήρωσιν πασῶν τῶν ἐντολῶν Αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταλῦσαι πᾶσαν αἵρεσιν καὶ ἀποστασίαν, καὶ πανταχοῦ ἐμφυτεῦσαι τὴν ὀρθοδοξίαν καὶ εὐσέβειαν, καὶ πάντας τοὺς τῆς ὀρθῆς πίστεως ἀποστάντας ἐπιστρέψαι εἰς ἐπίγνωσιν τῆς Αὐτοῦ Ἀληθείας, καὶ ἑνῶσαι αὐτοὺς τῇ Ἁγίᾳ Αὐτοῦ Ὀρθοδόξῳ Ἐκκλησίᾳ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι τὴν Ἁγίαν Αὐτοῦ Ἐκκλησίαν καὶ πάντας ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, καὶ ἀπὸ πάντων τῶν ἐχθρῶν, ὁρατῶν τε καὶ ἀοράτων, καὶ τοὺς πιστοὺς Αὐτοῦ πάντοτε φρουρῆσαι ὑγιείᾳ, μακροημερεύσει, εἰρήνῃ, καὶ παρεμβολῇ Ἀγγέλων Αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ Σῇ Χάριτι.



Τῆς Παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ. Σοὶ Κύριε.

ΙΕΡΕΥΣ. Ὅτι πρέπει Σοὶ πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ. Ἀμήν.

**Εἶτα.** *Θεὸς Κύριος εἰς ἦχον 6΄.*

Ὁ πάσης Δημιουργὸς τῆς κτίσεως, ὁ καιροὺς καὶ χρόνους ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ θέμενος, εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου Κύριε, φυλάττων ἐν εἰρήνῃ τοὺς Βασιλεῖς καὶ τὴν Πόλιν σου· πρεσβείαις τῆς Θεοτόκου, καὶ σῶσον ἡμᾶς.

## Δόξα.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου, ὡς δεξαμένην τὸν λόγον σου· δι' οὗ θεοπρεπῶς ἐδογμάτισας, τὴν φύσιν τῶν ὄντων ἐτράνωσας, τὰ τῶν ἀνθρώπων ἤθη κατεκόσμησας. Βασίλειον ἱεράτευμα, Πάτερ ὅσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## Καὶ νῦν.

Μορφὴν ἀναλλοιώτως ἀνθρωπίνην προσέλαβες, Θεὸς ὢν κατ' οὐσίαν, πολυεύσπλαχνε Κύριε· καὶ νόμον ἐκπληρῶν περιτομήν, θελήσει καταδέχῃ σαρκικήν, ἵνα παύσῃς τὰ σκιώδη, καὶ περιέλῃς τὸ κάλυμμα τῶν παθῶν

ἡμῶν. Δόξα τῇ ἀγαθότητι τῇ σῇ· δόξα τῇ εὐσπλαγχνίᾳ σου· δόξα τῇ ἀνεκφράστῳ Λόγε συγκαταβάσει σου (1).

ΔΙΑΚΟΝΟΣ. Πρόσχωμεν.

ΙΕΡΕΥΣ. Εἰρήνη πᾶσι.

ΑΝΑΓΝΩΣΤΗΣ. Καὶ τῷ Πνεύματί σου.

ΔΙΑΚΟΝΟΣ. Σοφία. Πρόσχωμεν.

ΑΝΑΓΝΩΣΤΗΣ. Προκείμενον ἦχος δ΄.

Ἄσω τῷ Κυρίῳ τῷ εὐεργετήσαντί με καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ Ὑψίστου.

**Στίχος.** Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ σωτηρίῳ σου.

Πρὸς Τιμόθεον Α΄. ἐπιστολῆς (2) Παύλου τὸ Ἀνάγνωσμα.

ΤΕΚΝΟΝ Τιμόθεε, παρακαλῶ πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχάς, ἐντεύξεις, εὐχαριστίας, ὑπὲρ πάντων ἀνθρώπων, ὑπὲρ Βασιλέων καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, Ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Εἷς γὰρ Θεός, εἷς

(1) Ἐν τῷ Σλαυϊκῷ κειμένῳ πρῶτον τροπάριον εὕρηται τὸ ἑξῆς:

«Εὐχαριστοῦντες οἱ ἀνάξιοι δοῦλοί Σου, Κύριε, ἐπὶ ταῖς πρὸς ἡμᾶς γινομέναις Σαῖς μεγάλαις εὐεργεσίαις, δοξάζοντες, αἰνοῦμέν Σε, εὐλογοῦμεν, εὐχαριστοῦμεν, ὑμνοῦμεν, καὶ μεγαλύνομεν τὴν Σὴν εὐσπλαγχνίαν, καὶ δουλικῶς ἐν ἀγάπῃ βοῶμέν Σοι, Εὐεργέτα Σωτὴρ ἡμῶν δόξα Σοι.»

Δεύτερον δὲ τὸ παρόν.

«Τῶν Σῶν εὐεργεσιῶν καὶ δωρεῶν ἀναξίως, ὡς δοῦλοι ἀνάξιοι ἀξιωθέντες, Δέσποτα, πρὸς Σὲ ἐν κατανύξει προστρέχοντες, εὐχαριστίαν πάσῃ δυνάμει, Σοὶ προσφέρομεν, καὶ Σὲ ὡς εὐεργέτην καὶ ποιητὴν δοξάζοντες ἀνακράζομεν· Δόξα Σοι Θεὲ Πανοικτίρμον.» Καὶ τελευταῖον τὸ «Ὁ πάσης κτίσεως δημιουργός.»

(2) Α΄. Τιμ. β΄. 1—7. α΄. 17.



καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων. Αὐτῷ τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

ΙΕΡΕΥΣ. Εἰρήνη σοί.

ΑΝΑΓΝΩΣΤΗΣ. Καὶ τῷ Πνεύματί σου.

ΔΙΑΚΟΝΟΣ. Σοφία.

ΧΟΡΟΣ. Ἀλληλούϊα. ἦχος δ΄.

**Εἶτα ὁ Διάκονος.** Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ Ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

ΧΟΡΟΣ. Κύριε ἐλέησον. (τρίς).

ΔΙΑΚΟΝΟΣ. Σοφία. ὀρθοί· ἀκούσωμεν τοῦ Ἁγίου Εὐαγγελίου.

ΙΕΡΕΥΣ. Εἰρήνη πᾶσι.

ΧΟΡΟΣ. Καὶ τῷ Πνεύματί σου.

ΙΕΡΕΥΣ. Ἐκ τοῦ κατὰ Λουκᾶν Ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

ΧΟΡΟΣ. Δόξα σοι Κύριε δόξα σοι.

ΔΙΑΚΟΝΟΣ. Πρόσχωμεν.

**Μεθ᾽ ὃ ὁ Ἱερεὺς ἀναγινώσκει τὸ Εὐαγγέλιον Λουκᾶ (δ΄. 16—20)**

ΤΩΙ καιρῷ ἐκείνῳ ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν Ναζαρέτ, οὗ ἦν τεθραμμένος· καὶ εἰσῆλθε κατὰ τὸ εἰωθὸς αὐτῷ, ἐν τῇ ἡμέρᾳ τῶν Σαββάτων, εἰς τὴν συναγωγήν, καὶ ἀνέστη ἀναγνῶναι. Καὶ ἐπεδόθη αὐτῷ βιβλίον Ἠσαΐου τοῦ προφήτου· καὶ ἀναπτύξας τὸ βιβλίον, εὗρε τὸν τόπον οὗ ἦν γεγραμμένον, 'Πνεῦμα Κυρίου ἐπ᾽ ἐμέ· οὗ ἕνεκεν ἔχρισέ με· εὐαγγελίζεσθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει,

κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτόν'. Καὶ πτύξας τὸ βιβλίον, ἀποδοὺς τῷ ὑπηρέτῃ, ἐκάθισε· καὶ πάντων ἐν τῇ συναγωγῇ οἱ ὀφθαλμοὶ ἦσαν ἀτενίζοντες αὐτῷ.

ΧΟΡΟΣ. Δόξα σοι Κύριε δόξα σοι.

**Εἶτα ὁ Διάκονος τὴν ἐκτενῆ ταύτην :**

ΕΙΠΩΜΕΝ πάντες ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

ΧΟΡΟΣ. Κύριε ἐλέησον.

Κύριε Παντοκράτορ, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, δεόμεθά Σου, ἐπάκουσον, καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Θεοσεβεστάτου καὶ Φιλοχρίστου Βασιλέως ἡμῶν **Γεωργίου** τοῦ Α', τῆς Εὐσεβεστάτης Βασιλίσσης ἡμῶν **Ὄλγας**, καὶ τῶν Εὐσεβεστάτων Βασιλοπαίδων **Κωνσταντίνου** τοῦ Διαδόχου, μετὰ τῆς Συζύγου Αὐτοῦ **Σοφίας**, καὶ τοῦ Υἱοῦ Αὐτῶν **Γεωργίου· Γεωργίου, Νικολάου, Μαρίας, Ἀνδρέου** καὶ **Χριστοφόρου**, τοῦ μεγάλου Δουκὸς **Παύλου**, καὶ τῶν τέκνων Αὐτοῦ **Μαρίας** καὶ **Δημητρίου** παντὸς τοῦ Παλατίου καὶ τοῦ στρατοῦ.

ΧΟΡΟΣ. Κύριε ἐλέησον. (τρίς).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν **(τοῦ δεῖνος)**. καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος.

Εὐχαριστοῦντες μετὰ φόβου καὶ τρόμου, ὡς δοῦλοι ἀνάξιοι, τῇ Σῇ Εὐσπλαχνίᾳ Σῶτερ καὶ Δέσποτα ἡμῶν Κύριε, ἐπὶ ταῖς Σαῖς εὐεργεσίαις, ἃς ἀφθόνως ἐξέχεας ἐπὶ τοὺς δούλους Σου, προσπίπτομεν καὶ δοξολογίαν Σοί, ὡς Θεῷ, προσφέρομεν, καὶ ἐν κατανύξει κράζομεν, λύτρωσαι ἀπὸ παντοίων κινδύνων τοὺς δούλους Σου, καὶ πλήρωσον ἀεὶ ὡς Ἐλεήμων ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν πάντων ἡμῶν, ἐκτενῶς δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.



ΧΟΡΟΣ. Κύριε ἐλέησον. (τρίς).

Ὑπὲρ τοῦ εὐλογῆσαι τὸν στέφανον τοῦ ἐπιστάντος ἐνιαυτοῦ, τῇ Σῇ Χάριτι, καὶ ἀποσβέσαι ἐν ἡμῖν πᾶσαν ἔχθραν, ἀκαταστασίαν, καὶ ἐμφυλίους πολέμους, δωρήσασθαι δὲ ἡμῖν εἰρήνην, σταθερὰν καὶ ἀνυπόκριτον ἀγάπην, εὔτακτον πολιτείαν, καὶ ἐνάρετον βιοτήν, δεόμεθά Σου Πανάγαθε Κύριε, ἐπάκουσον καὶ ἐλέησον.

Ὑπὲρ τοῦ μὴ μνησθῆναι τῶν ἐν τῷ παρελθόντι ἐνιαυτῷ ἀναριθμήτων ἀνομιῶν ἡμῶν καὶ πονηρῶν πράξεων, καὶ μὴ ἀποδοῦναι ἡμῖν κατὰ τὰ ἔργα ἡμῶν, ἀλλ' ἐν ἐλέει καὶ οἰκτιρμοῖς μνησθῆναι ἡμῶν, δεόμεθά Σου εὔσπλαχνε Κύριε, ἐπάκουσον καὶ ἐλέησον.

Ὑπὲρ τοῦ καταπέμψαι ὄμβρους ἐγκαίρους, πρωΐμους τε καὶ ὀψίμους, δρόσον καρποφόρον, ἀνέμους ἐπωφελεῖς καὶ εὐκράτους, καὶ τὴν θερμότητα τοῦ ἡλίου ἐκπέμψαι, δεόμεθά Σου Πανοικτίρμον Κύριε, ἐπάκουσον καὶ ἐλέησον.

Ὑπὲρ τοῦ μνησθῆναι τῆς Ἁγίας Αὐτοῦ Ἐκκλησίας, ἐνισχῦσαι, στηρίξαι, ἐπεκτεῖναι, εἰρηνεῦσαι αὐτήν, καὶ ἀπὸ τῶν πυλῶν τοῦ Ἅδου ἀπήμαντον καὶ ἀπὸ πάσης ἐπιβουλῆς ὁρατῶν τε καὶ ἀοράτων ἐχθρῶν ἀπροσμάχητον εἰς τοὺς αἰῶνας διαφυλάξαι, δεόμεθά Σου, Παντοκράτορ Δέσποτα, ἐπάκουσον καὶ ἐλέησον.

Ὑπὲρ τοῦ ἐκριζῶσαι καὶ κατασβέσαι πᾶσαν βλάσφημον ἀσέβειαν, καὶ τὴν Βασιλείαν Σου ταχέως ἐλθεῖν ἐφ' ἡμᾶς,

δεόμεθά Σου Παντοδύναμε Κύριε, ἐπάκουσον καὶ ἐλέησον

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὸν **Βασίλειον οἶκον τοῦτον** (1) τὴν πόλιν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων καὶ ἐμφυλίου πολέμου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ, καὶ εὐδιάλεκτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι πᾶσαν ὀργήν, καὶ νόσον, τὴν καθ' ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας Αὐτοῦ ἀπειλῆς καὶ ἐλεῆσαι ἡμᾶς.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς.

ΙΕΡΕΥΣ. Ἐπάκουσον ἡμῶν ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν· καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν Δέσποτα ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς. Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ. Ἀμήν.

ΔΙΑΚΟΝΟΣ. Ἔτι καὶ ἔτι, κλίναντες τὰ γόνατα, τοῦ Κυρίου δεηθῶμεν:

ΧΟΡΟΣ. Κύριε ἐλέησον. (τρίς).

**Εἶτα ὁ ἱερεὺς γονυκλινὴς ἀναγινώσκει τὴν εὐχὴν ταύτην:**

ΔΕΣΠΟΤΑ Κύριε ὁ Θεὸς ἡμῶν, ἡ πηγὴ τῆς Ζωῆς καὶ τῆς Ἀθανασίας, ὁ πάσης κτίσεως ὁρατῆς τε καὶ ἀοράτου Δημιουργός, ὁ καιροὺς καὶ χρόνους ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ θέμενος

(1) Ἐὰν ἡ ἀκολουθία ἀναγινώσκεται ἐν τοῖς Ἀνακτόροις.



καὶ διέπων τὰ πάντα τῇ Πανσόφῳ καὶ Παναγάθῳ Σου Προνοίᾳ, εὐχαριστοῦμέν Σοι ἐπὶ τοῖς οἰκτιρμοῖς Σου, οὓς ἐθαυμάστωσας ἐφ' ἡμᾶς ἐν τῷ παρελθόντι χρόνῳ τῆς ζωῆς ἡμῶν, δεόμεθά Σου Πολυεύσπλαχνε Κύριε, εὐλόγησον τὸν στέφανον τοῦ ἐπιστάντος ἐνιαυτοῦ τῇ Σῇ ἀγαθότητι, φύλαττε τὸν ἀγαπητὸν Δοῦλόν Σου τὸν Θεοσεβέστατον καὶ Φιλόχριστον Βασιλέα ἡμῶν **Γεώργιον,** τὴν Εὐσεβεστάτην Βασίλισσαν ἡμῶν **Ὄλγαν,** τοὺς Εὐσεβεστάτους Βασιλόπαιδας **Κωνσταντῖνον** τὸν Διάδοχον σὺν τῇ Συζύγῳ Αὐτοῦ **Σοφίᾳ,** μετὰ τοῦ Υἱοῦ Αὐτῶν **Γεωργίου· Γεώργιον, Νικόλαον, Μαρίαν, Ἀνδρέαν** καὶ **Χριστοφόρον,** τὸν Εὐσεβέστατον Μέγαν Δοῦκα **Παῦλον** μετὰ τῶν Τέκνων Αὐτοῦ **Μαρίας** καὶ **Δημητρίου·** πλήθυνον τὰς ἡμέρας τῆς Ζωῆς Αὐτῶν ἐν ὑγιείᾳ ἀμεταπτώτῳ, καὶ δώρησαι Αὐτοῖς προκοπὴν ἐν πάσαις ταῖς ἀρεταῖς.

Παράσχου ἄνωθεν τὰ ἀγαθά Σου, καὶ παντὶ τῷ λαῷ Σου, ὑγιείαν τε καὶ σωτηρίαν, καὶ ἐν πᾶσι ἀγαθὴν κατευόδωσιν· τὴν Ἁγίαν Σου Ἐκκλησίαν, τὴν Πόλιν ταύτην καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ πάσης κακῆς περιστάσεως λύτρωσον, εἰρήνην καὶ ἡσυχίαν αὐταῖς χαριζόμενος. Ἀξίωσον δὲ ἡμᾶς Σοὶ τῷ Ἀνάρχῳ Πατρί, σὺν τῷ Μονογενεῖ Σου Υἱῷ, καὶ τῷ Παναγίῳ καὶ Ζωοποιῷ Σου Πνεύματι, τῷ ἐν μιᾷ Οὐσίᾳ δοξαζομένῳ Θεῷ, πάντοτε εὐχαριστίαν προσφέρειν καὶ τὸ Πανάγιόν Σου Ὄνομα ἀνυμνεῖν

**(γεγονωτέρᾳ τῇ φωνῇ)**

Δόξα Σοι Θεῷ τῷ Εὐεργέτῃ ἡμῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ. Ἀμήν.

**Μεθ' ὃ ψάλλεται ἡ Δοξολογία «*Δόξα ἐν ὑψίστοις Θεῷ*» ἢ ἡ Δοξολο-**

**για τοῦ ἱεροῦ Ἀμβροσίου Ἐπισκόπου Μεδιολάνων** *«Σὲ τὸν Θεὸν αἰνοῦμεν.»* **Μετὰ τὸ τέλος δὲ ταύτης ὁ Διάκονος λέγει.**

ΔΙΑΚΟΝΟΣ. Πρόσχωμεν.

ΙΕΡΕΥΣ. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

ΧΟΡΟΣ. Τὴν Τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σὲ μεγαλύνομεν.

ΙΕΡΕΥΣ. Δόξα Σοι Χριστὲ ὁ Θεὸς ἡ ἐλπὶς ἡμῶν δόξα Σοι.

ΧΟΡΟΣ. Δόξα. Καὶ νῦν, Κύριε ἐλέησον. (τρίς).

Δέσποτα ἅγιε εὐλόγησον (1).

ΙΕΡΕΥΣ. Ὁ ἐν τῇ ὀγδόῃ ἡμέρᾳ σαρκὶ περιτμηθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς Παναχράντου καὶ Παναμώμου ἁγίας Αὐτοῦ Μητρός, καὶ πάντων Σου τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

**Πολυχρόνιον καὶ Ἀπόλυσις (2).**

(1) Ἐν τῷ Σλαυϊκῷ κειμένῳ εὕρηται ἁπλῶς *«εὐλόγησον»*.

(2) Ἡ μετάφρασις αὕτη ἐκπονηθεῖσα ὑφ' ἡμῶν τῷ 1889 μετὰ τοῦ ἐν Ἀθήναις Ῥώσσου Ἀρχιμανδρίτου Πατρὸς Γενναδίου, ἔτυχε καὶ τῆς ἀπὸ κοινοῦ φιλίου ἀναθεωρήσεως τοῦ λογιωτάτου καὶ σοφοῦ ἐν τῇ χορείᾳ τῶν Ὀρθοδόξων Ἱεραρχῶν Ἀρχιεπισκόπου Μαντινείας καὶ Κυνουρίας κ.κ. Θεοκλήτου Βίμπου.

# ΕΥΧΗ

*ἐπὶ τῇ εἰς τὴν Ὀρθόδοξον Πίστιν προσελεύσει*
*τῆς Α. Α. Υ. τῆς Βασιλόπαιδος*

## ΣΟΦΙΑΣ

ΤΩ ΑΓΙΩ ΚΑΙ ΜΕΓΑΛΩ ΣΑΒΒΑΤΩ

20 Ἀπριλίου 1891.

---

«Ὅτι κραταίωμά μου, καὶ καταφυγή μου εἶ Σύ. Καὶ ἕνεκεν τοῦ ὀνόματός Σου ὁδηγήσεις με καὶ διαθρέψεις με.»
(Ψαλ. λ'. 4.)

### Εὐχή.

ΔΕΣΠΟΤΑ Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τῶν ψυχῶν ἡμῶν Σοφὸς Οἰκονόμος, ὁ τὴν ἐπὶ τὸν Βασίλειον Θρόνον τῆς Ὀρθοδόξου Ἑλλάδος καθέζεσθαι μέλλουσαν Βασιλόπαιδα **Σοφίαν,** εἰς τὴν Ὀρθόδοξον πίστιν τοῦ λαοῦ Αὐτῆς καλέσας, Σε ἱκετεύομεν καὶ Σοῦ δεόμεθα, Πανάγαθε καὶ Αἰώνιε Βασιλεῦ, ὅπως εὐμενῶς ἐπιβλέψας ἐπὶ τὴν οὕτως οἰκείᾳ βουλῇ, μετὰ τοῦ λαοῦ Αὐτῆς Ὀρθοδόξως συναγιάζεσθαι καὶ συμπροσεύχεσθαι θελήσασαν, καθαρίσῃς καὶ ἁγιάσῃς Αὐτὴν ψυχῇ τε καὶ σώματι.

Χάρισαι Αὐτῇ φωτεινὸν καὶ ἀμόλυντον τὸν χιτῶνα τῆς ἐν Σοὶ τῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν παλιγγενεσίας Αὐτῆς.

Τὴν σφραγῖδα τῆς δωρεᾶς τοῦ Ἁγίου Σου Πνεύματος, μέχρις ἐσχάτης Αὐτῆς ἀναπνοῆς, ἀλύμαντον διαφύλαξον.

Τὴν λαμπάδα τῆς Ὀρθοδόξου ὁμολογίας Αὐτῆς, τὴν μυστικῶς Σὲ τὸ ὑπέρλαμπρον καὶ ἀΐδιον Φῶς ὑποδηλοῦσαν καὶ ὑπεμφαίνουσαν, ἄσβεστον διατήρησον, μεχρισοῦ εἰς τὴν ἀνέσπερον καταντήσει Πόλιν, ἧς Τεχνίτης καὶ Δημιουργὸς Σύ, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Τὸν Οἶκον Αὐτῆς, νέᾳ Εὐλογίᾳ Πνευματικῇ ἀπὸ τοῦ νῦν εὐλόγησον καὶ μεγάλυνον, φρουρῶν καὶ σκέπων Αὐτόν, τῇ σκέπῃ τῶν Σῶν ἁγίων πτερύγων.

Ἐν ἐσχάτῳ δὲ γήρει, ἀξίωσον Αὐτήν, παρισταμένην πρὸ τοῦ φοβεροῦ βήματός Σου, εὑρεθῆναι τὴν καλὴν ἀπολογίαν ἔχουσαν καὶ τὴν Ὀρθόδοξον πίστιν ὁμολογοῦσαν.

Τὸν Θεοσεβέστατον καὶ Φιλόχριστον ἡμῶν Βασιλέα **Γεώργιον,** τὸν Σὸν πιστὸν δοῦλον, τὴν Εὐσεβεστάτην Βασίλισσαν ἡμῶν **Ὄλγαν,** καὶ τὸν Εὐσεβέστατον Διάδοχον Αὐτῶν **Κωνσταντῖνον,** μετὰ τῶν **Οἴκων Αὐτῶν,** καὶ τῶν λοιπῶν Βασιλοπαίδων, φύλαττε, Κύριε, ἐν νυκτὶ καὶ ἡμέρᾳ, τῷ Σῷ ὄμματι περιφρουρῶν καὶ σκέπων.

Λάλει δὲ ἐν τῇ καρδίᾳ Αὐτῶν ἀγαθὰ ὑπὲρ τῆς Ἐκκλησίας καὶ τοῦ λαοῦ Σου, ἵνα ἐν τῇ γαλήνῃ Αὐτῶν, ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν Σοὶ τῷ Κυρίῳ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

Ἡ Εὐχὴ αὕτη γραφεῖσα ὑφ' ἡμῶν, τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Παρασκευῇ ἐπὶ τῇ εἰς τὴν Ὀρθόδοξον πίστιν προσελεύσει τῆς Α. Α. Υ. τῆς Βασιλόπαιδος **Σοφίας,** ἀνεγνώσθη ὑπὸ τοῦ Σεβασμιωτάτου Μητροπολίτου Ἀθηνῶν Κυρίου Κυρίου Γερμανοῦ, ἐν τέλει τῆς Θείας Λειτουργίας τοῦ Ἁγίου καὶ Μεγάλου Σαββάτου, ἀπὸ τῆς Ὡραίας Πύλης τοῦ Ἀνακτορικοῦ Ναοῦ, παρόντος τῆς Α. Μ. τοῦ Βασιλέως μεθ' ἅπαντος τοῦ Σεπτοῦ Βασιλικοῦ Αὐτοῦ Οἴκου ([1]).



Ὡσαύτως τῇ αὐτῇ ἡμέρᾳ ἡ εὐχὴ αὕτη ἀνεγνώσθη ὑπὸ τοῦ Σεβασμιωτάτου Μητροπολίτου, κατὰ τὴν ὑπ' αὐτοῦ ἐν τῷ Ἱερῷ Ναῷ τῆς Μητροπόλεως Ἀθηνῶν τελεσθεῖσαν εὐχαριστήριον Δοξολογίαν, ὡς καὶ ἐν ταῖς φυλακαῖς Συγγροῦ, μετὰ τὸ τέλος τῆς Θείας Λειτουργίας, ὑπὸ τοῦ Εὐλαβεστάτου Σακελλαρίου Πατρὸς Θεοδώρου Παπακωνσταντίνου, ἐν μέσῳ γενικῆς γονυκλισίας, παρόντος καὶ τοῦ Διοικητικοῦ Συμβουλίου τῆς ἐν Χριστῷ Ἀδελφότητος.

[1] Τὴν μετὰ τοῦ μυστηρίου τοῦ ἁγίου Χρίσματος συντελεσθεῖσαν θείαν λειτουργίαν ταύτην τοῦ ἁγίου καὶ Μεγάλου Σαββάτου, ἐτέλεσεν ἡ Α.Σ. ὁ Μητροπολίτης Ἀθηνῶν Κος Κος Γερμανός, συλλειτουργούντων αὐτῷ, τῶν εὐλαβεστάτων Πρεσβυτέρων, τοῦ Οἰκονόμου καὶ Ἐφημερίου τῆς Α.Μ. τῆς Βασιλίσσης Πατρὸς Δημητρίου Ζαχρήστου, καὶ τοῦ Πανοσιωτάτου Ἀρχιμανδρίτου Πατρὸς Προκοπίου Οἰκονομίδου, μετὰ τῶν ὁσιωτάτων ἱεροδιακόνων τοῦ Ἀνακτορικοῦ ἱεροῦ Ναοῦ, Πατρὸς Ἀνδρονίκου, καὶ τῆς ἱερᾶς Μητροπόλεως Ἀθηνῶν, Πατρὸς Ἀνδρέου.

ΕΥΧΗ

*ἐπὶ τῇ εἰκοσιπενταετηρίδι τῶν Ἀργυρῶν Γάμων τῶν Α. Α. Μ. Μ. τῶν Σεπτῶν ἡμῶν Βασιλέων*

ΓΕΩΡΓΙΟΥ ΚΑΙ ΟΛΓΑΣ

15 Ὀκτωβρίου 1892.

---

«Ἔθηκας ἐπὶ τὴν κεφαλὴν Αὐτῶν στεφάνους ἐκ λίθων τιμίων.»
«Ζωὴν ᾐτήσαντό Σε, καὶ ἔδωκας Αὐτοῖς μακρότητα ἡμερῶν»
(Ψαλμ. ιη'. 4—5).

**Εὐχή.**

ΥΨΙΣΤΕ Θεὲ Παντοκράτορ, Ἀπειροτέλειος Δύναμις καὶ Νοερὰ Οὐσία, εὐχαριστοῦμέν Σοι, ὅτι εἰσακούσας τῶν εὐχῶν καὶ δεήσεων τῆς ἁγίας Σου Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας, ἐδωρήσω τοῖς Πιστοτάτοις καὶ Φιλοχρίστοις ἡμῶν Βασιλεῦσι, **Γεωργίῳ** καὶ **Ὄλγᾳ,** πάντα τὰ πρὸς σωτηρίαν Αὐτῶν αἰτήματα· εὐχαριστοῦμέν Σοι, ὅτι εὐλογίᾳ πνευματικῇ Αὐτοὺς εὐλογήσας, ὡς φοβουμένους τὸ ὄνομά Σου τὸ ἅγιον τὸ θαυμαστὸν καὶ ἔνδοξον, ὕψωσας Αὐτοὺς ὡς τὰς κέδρους τοῦ Λιβάνου, προέφθασας Αὐτοὺς ἐν εὐλογίαις χρηστότητος, ἔθηκας ἐπὶ τὴν κεφαλὴν Αὐτῶν στεφάνους ἐκ λίθων τιμίων, εὐφράνας Αὐτοὺς ἐν χαρᾷ μετὰ προσώπου Σου.



Ἀνέδειξας Αὐτοὺς ἀμπέλους εὐκληματούσας ἐν Σοὶ τῷ Κυρίῳ, καταπέμψας Αὐτοῖς ἀγάπην τελείαν· ἐχαρίσω Αὐτοῖς Τέκνα εἰς διαδοχὴν γένους, πάντα πρὸς τὸ συμφέρον Αὐτῶν οἰκονομήσας, ὡς μόνος τῶν ψυχῶν ἡμῶν Σοφὸς οἰκονόμος. Αὐτὸς οὖν, Πανάγαθε καὶ Αἰώνιε Βασιλεῦ, Ὃς ἀπὸ τοῦ Θρόνου τῆς ἀπεράντου Σου Μεγαλειότητος καθήμενος ἐπὶ τῶν Χερουβείμ, ἐπιβλέπεις ἀβύσσους, κατάπεμψον καὶ νῦν ἐπὶ τοὺς δούλους Σου, τοὺς Θεοσεβεστάτους καὶ Φιλοχρίστους ἡμῶν Βασιλεῖς **Γεώργιον** καὶ **Ὄλγαν** καὶ παντὶ τῷ **Βασιλείῳ Αὐτῶν Οἴκῳ** τὴν χάριν Σου τὴν ἐπουράνιον· διαφύλαττε τὰς εἰσόδους Αὐτῶν καὶ ἐξόδους· παράσχου Αὐτοῖς πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα. Ὅπλῳ ἀληθείας, ὅπλῳ εὐδοκίας στεφάνωσον Αὐτούς. Κράτυνον Αὐτῶν τὴν Βασιλείαν, χάρισαι Αὐτοῖς ζωὴν εἰρηνικήν, πλήθυνον τὰς ἡμέρας Αὐτῶν, καταξιῶν αὐτοὺς ἐν γήρει πίονι καταντῆσαι.

Δὸς δ' Αὐτοῖς, ἱκετεύομέν Σε Πολυέλεε Κύριε, καὶ τὸν ἀμάραντον τῆς δόξης στέφανον, καὶ τὴν ἀπόλαυσιν τῶν Οὐρανίων Σου ἀγαθῶν, ἃ ἡτοίμασας τοῖς ἀγαπῶσί Σε· πρεσβείαις τῆς παναχράντου Σου Μητρὸς καὶ πάντων τῶν ἁγίων Σου. Ἀμήν.

---

**Ἡ Εὐχὴ αὕτη, ταπεινὸν ἡμῶν ἔργον, ἀνεγνώσθη ἐν τῷ Ἱερῷ Ναῷ τῆς Μητροπόλεως Ἀθηνῶν ὑπὸ τοῦ Σεβασμιωτάτου Μητροπολίτου Ἀθηνῶν Κυρίου Κυρίου Γερμανοῦ, κατὰ τὴν ἐν αὐτῷ, ὑπ' αὐτοῦ, τελεσθεῖσαν Δοξολογίαν, τῇ 15 Ὀκτωβρίου 1892, ἐπὶ τοῖς Ἀργυροῖς Γάμοις τῶν Α.Α. Μ.Μ. τῶν Σεπτῶν ἡμῶν Βασιλέων.**

## ΑΠΟΛΥΤΙΚΙΟΝ ΤΗΣ ΑΓΙΑΣ ΟΛΓΑΣ

11 ΙΟΥΛΙΟΥ ΤΗΣ ΑΓΙΑΣ ΙΣΑΠΟΣΤΟΛΟΥ ΒΑΣΙΛΙΣΣΗΣ ΟΛΓΑΣ
ΤΗΣ ΔΙΑ ΤΟΥ ΑΓΙΟΥ ΒΑΠΤΙΣΜΑΤΟΣ ΕΛΕΝΗΣ ΤΩι 955 ΜΕΤΟΝΟΜΑΣΘΕΙΣΗΣ (1)

**Ἀπολυτίκιον ἦχος γʹ. (2)**

**ΑΓΙΑ Ἰσαπόστολε, Νύμφη τοῦ Χριστοῦ, Βασίλισσα Ὄλγα· ἡ Ἔθνος τὸ Σόν, Γάλα τὸ Λογικὸν καὶ Ἄδολον Χριστοῦ ποτίσασα (3)· πρέσβευε τῷ Ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.**

(1) Περὶ τῆς ἁγίας Βασιλίσσης **Ὄλγας**, ἥτις, διὰ τὸν πρὸς ἐξάπλωσιν τοῦ Χριστιανισμοῦ ζῆλον αὐτῆς, ὡς λέγει ὁ Νέστωρ, ὑπῆρξεν ἡ *Ἠὼς* καὶ τὸ *Ἄστρον* τῆς σωτηρίας τῆς Ῥωσσίας, περὶ τοῦ πολιτικοῦ καὶ θρησκευτικοῦ βίου αὐτῆς, ὁμοιάζοντα πρὸς τὸν βίον τοῦ Μ. Κωνσταντίνου, περὶ τῆς ἐν Βυζαντίῳ ὑποδοχῆς αὐτῆς, μετὰ τῆς ἀκολουθίας αὐτῆς, περὶ τῆς εἰς τὸν ἄπιστον Υἱὸν αὐτῆς *Σβιατοσλαῦον* διδασκαλίας, περὶ τῆς *εἰρηνικῆς γαλήνης*, ἧς ἀπολαύει ἡ *ψυχὴ τοῦ ἐπιγνόντος τὸν ἐν τῷ Χριστιανισμῷ ἀληθῆ Θεόν*, περὶ τῶν μετὰ δακρύων προσευχῶν αὐτῆς, δι' ὧν παρεκάλει ὅπως ὁ Θεὸς φωτίσῃ καὶ καθοδηγήσῃ καὶ τὸν Ἐθνικὸν Υἱὸν αὐτῆς καὶ τὸν Ῥωσσικὸν λαὸν εἰς ἐπίγνωσιν τοῦ Ἀληθινοῦ Θεοῦ, καὶ περὶ τῶν τελευταίων πρὸς τὸν Υἱὸν αὐτῆς λόγων, ὁμοίων πρὸς τοὺς συγκινητικοὺς λόγους τῆς ἁγίας Ἀνθούσης, μητρὸς τοῦ ἱεροῦ Χρυσοστόμου, ἀμφοτέρων οὕτως παρακαλουσῶν τοὺς Υἱοὺς αὐτῶν, ὅπως ἀναμείνωσι τὸν θάνατον αὐτῶν καὶ μὴ ἐγκαταλείψωσιν αὐτὰς μόνας, ἰδὲ Ν. Καραμσίνου. Ἱστορία τῆς Ῥωσσ. Αὐτοκρατορίας. Μετάφρ. Δ. Βερναρδάκη. Ἀθήνησιν. 1855. σελ. 168-189.

(2) Ἐλλείψει ἰδίου ὕμνου ἐν τῇ ἡμετέρᾳ Ἐκκλησίᾳ τῆς ἁγίας Βασιλίσσης Ὄλγας συνεθέσαμεν τὸν ἀνωτέρω.

(3) Αʹ. Πέτρ. βʹ. 2.

## ΔΟΞΟΛΟΓΙΑ
## ΤΟΥ ΙΕΡΟΥ ΑΜΒΡΟΣΙΟΥ

[Κατὰ τὴν ἡμετέραν μετάφρασιν.]

*ΣΕ τὸν Θεὸν αἰνοῦμεν· Σὲ Κύριον ὁμολογοῦμεν.*
*Σὲ τὸν προαιώνιον Πατέρα· πᾶσα ἡ γῆ μεγαλύνει.*
*Σοὶ πάντες Ἄγγελοι· Σοὶ Οὐρανοὶ καὶ πᾶσαι Δυνάμεις.*
*Σοὶ τὰ Χερουβεὶμ καὶ τὰ Σεραφεὶμ· ἀκαταπαύστῳ φωνῇ κράζουσιν,*
*Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος ὁ Θεὸς Σαβαώθ,*
*Πλήρεις εἰσὶν οἱ Οὐρανοὶ καὶ ἡ γῆ τῆς Μεγαλειότητος τῆς δόξης Σου.*
*Σὲ αἰνεῖ ὁ ὑπερένδοξος τῶν Ἀποστόλων χορός,*
*Σὲ ὁ τῶν Προφητῶν αἰνετὸς ἀριθμός,*
*Σὲ αἰνεῖ ἡ ἐν λευκοῖς στρατιὰ τῶν Μαρτύρων.*
*Σὲ ἀνὰ τὴν Οἰκουμένην ὁμολογεῖ ἡ ἁγία Ἐκκλησία,*
*Τὸν Πατέρα τῆς ἀπείρου Μεγαλειότητος,*
*Τὸν προσκυνητόν Σου ἀληθινὸν καὶ Μονογενῆ Υἱόν,*

*Καὶ τὸ ἅγιον Παράκλητον Πνεῦμα.*
*Σὺ Βασιλεὺς τῆς Δόξης Χριστέ.*
15 *Σὺ τοῦ Πατρὸς Υἱὸς ἀΐδιος εἶ.*
*Σὺ πρὸς τὸ λυτρώσασθαι τὸν ἄνθρωπον· ηὐδόκησας ἐκ Παρθένου τεχθῆναι.*
*Σὺ συντρίψας τοῦ θανάτου τὸ κέντρον· τοῖς πιστεύουσι τὴν Βασιλείαν τῶν Οὐρανῶν ἠνέῳξας.*
*Σὺ ἐκ δεξιῶν τοῦ Θεοῦ κάθησαι· ἐν δόξῃ τοῦ Πατρός.*
*Κριτὴς πάλιν ἔρχεσθαι πιστευόμενος.*
20 *Σοῦ τοίνυν δεόμεθα, βοηθὸς γενοῦ τοῖς δούλοις Σου· οὓς τῷ τιμίῳ Σου αἵματι ἐξηγόρασας.*
*Ἀξίωσον ἡμᾶς τῆς αἰωνίου δόξης· ἐν τοῖς ἁγίοις Σου.*
*Σῶσον Κύριε τὸν λαόν Σου· καὶ εὐλόγησον τὴν κληρονομίαν Σου.*
*Καὶ κατεύθυνον καὶ ὕψωσον αὐτοὺς εἰς τοὺς αἰῶνας.*
*Καθ' ἑκάστην ἡμέραν εὐλογοῦμέν Σε.*
25 *Καὶ αἰνοῦμεν τὸ Ὄνομά Σου εἰς τὸν αἰῶνα· καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.*
*Καταξίωσον Κύριε ἐν τῇ ἡμέρᾳ ταύτῃ· ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.*
*Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς.*
*Γένοιτο, Κύριε, τὸ ἔλεός Σου ἐφ' ἡμᾶς· καθάπερ ἠλπίσαμεν ἐπὶ Σέ.* (1).
29 *Ἐπὶ Σοὶ Κύριε ἤλπισα· μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα* (2). *Ἀμήν.*

(1) Ψαλμ. λβ'. 22.
(2) Ψαλμ. λ'. 1. καὶ Ο'. 1.

# Η ΑΜΒΡΟΣΙΑΝΗ ΔΟΞΟΛΟΓΙΑ

«Σὺ Βασιλεὺς τῆς Δόξης Χριστέ.»
(Ἀμβρ. δοξολ. στιχ. 14).

ΣΥΓΓΡΑΦΕΥΣ ΤΑΥΤΗΣ

ΤΟΝ Ὕμνον, ἢ τὴν Δοξολογίαν ταύτην ἡ παράδοσις ἀποδίδωσιν εἰς τὸν ἱερὸν Ἀμβρόσιον, τὸν πολιὸν Ἐπίσκοπον Μεδιολάνων (340†398.), (1)· περὶ οὗ λέγεται ὅτι, ἐνῷ ἔτι ἦν βρέφος καὶ ὑπὸ τὰς πτέρυγας τοῦ Ἀγγέλου φύλακος ἐν τῷ λίκνῳ αὐτοῦ ὕπνωττεν, σμῆνος μελισσῶν ἐπεκάθισεν ἐπὶ τοῦ στόματος αὐτοῦ (2).

Καὶ τῷ ὄντι! Τοσαύτη ἦν ἡ ῥητορικὴ τοῦ ἱεροῦ ἀνδρὸς δύναμις καὶ εὐγλωττία, ὥστε δικαίως, ὡς ἐν ταῖς Ἐκκλησίαις τῆς Ἀνατολῆς ὁ ἱερὸς Ἰωάννης ὠνομάσθη Χρυσόστομος, οὕτως ἐν ταῖς Ἐκκλησίαις τῆς Δύσεως, ὁ ἱερὸς Ἀμβρόσιος ὠνομάσθη μελίρρυτος Διδάσκαλος, (Doctor mellifluus) (3).

(1) Sigel. Τόμ. II. σελ. 222. κατὰ δὲ τὸν Goldwitzer Patrol. 333† 397. Τόμ. I. σελ. 508.
(2) Goldwitzer. Patrologie. Τόμ. I. σελ. 506
(3) Goldwitzer. Patrologie. αὐτόθι.

Ἐν Μεδιολάνοις ἀνεζητεῖτο τότε ὀνομαστός τις περὶ τὴν Νεοπλατωνικὴν φιλοσοφίαν, καὶ ἰδίᾳ περὶ τὴν Ῥητορικὴν (¹) καθηγητής, καὶ ὡς τοιοῦτος προσκαλεῖται ἐκεῖσε ὁ δεινὸς Αὐγουστῖνος, περὶ οὗ κοινὸν ἤδη ἐφέρετο περὶ τῆς Ῥητορικῆς αὐτοῦ δυνάμεως λόγιον : «ῥύσαιτο ἡμᾶς ὁ Θεὸς τῆς Αὐγουστίνου Διαλεκτικῆς» (²).

## ΤΑ ΜΕΔΙΟΛΑΝΑ

«Ἀδύνατον ν' ἀπολεσθῇ ὁ Υἱὸς τοσούτων δακρύων.»

Ἀλλ' ἐκεῖ, ἀπὸ τοῦ σεμνοῦ ἄμβωνος τῆς Χριστιανικῆς κοινότητος, γλυκεῖα φωνὴ σεβασμίου γέροντος ἀνέπτυσσεν εἰς τὰ περὶ αὐτὸν πλήθη τοὺς λόγους τοῦ Εὐαγγελίου, οὗτος ἦν ὁ ἱερὸς Ἀμβρόσιος, ὅστις ἐνῷ ἔτι ἦν πολιτικὸς Διοικητὴς τῆς πόλεως, λαϊκός, ἐθνικός, ἀβάπτιστος (³) κοινῇ ψήφῳ ὁ λαὸς ἐξελέξατο αὐτὸν Ἐπίσκοπον τῆς Ἐκκλησίας ταύτης τῶν Μεδιολάνων.

Ἐνταῦθα, ἐν Μεδιολάνοις, ἡ σεπτὴ τοῦ Αὐγουστίνου Μήτηρ, εἰς μόνον τοὺς λόγους τοῦ ἱεροῦ Ἀμβροσίου εὑρίσκουσα ἀνακούφισιν, ἠρώτησέ ποτε τοῦτον, ἂν ὁ Ὕψιστος λαμβάνῃ ὑπ' ὄψιν τὰ ὑπ' αὐτῆς καθ' ἑκάστην χυνόμενα δάκρυα, διὰ τὰς παρεκτροπὰς τοῦ Υἱοῦ αὐτῆς Αὐγουστίνου, ὅτε ὁ πολιὸς τῆς Ἐκκλησίας τοῦ Χριστοῦ Ἐπίσκοπος, μετὰ στερρᾶς πίστεως ἀπεκρίθη «*ἀδύνατον νὰ ἀπολεσθῇ ὁ Υἱὸς τοσούτων δακρύων.*»

(¹) Théol. Univ. Lex. 1874. ἐν λέξει Augustinus.

(²) Γεννάδιος ὁ Σχολάριος ἐν τοῖς περὶ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος λόγοις αὐτοῦ.

(³) Μελετ. Ἐκκλ. Ἱστορ. Α'. σ. 380—419. Χρονικόν. ἔκδ. αψχθ'. σελ. 41.



Καὶ δὲν ἐσφάλη ὁ πεπειραμένος πιστὸς λειτουργὸς τοῦ Ὑψίστου!

Ἐκ περιεργίας μᾶλλον (¹) ἢ ἐκ προθέσεως, ὁ ἱερὸς Αὐγουστῖνος, ἀκροατὴς γενόμενος τῶν κηρυγμάτων τοῦ ἱεροῦ Ἀμβροσίου, **ἐδέξατο τὰς ἀληθείας τῆς πίστεως.**

## Η ΝΥΞ ΤΟΥ ΜΕΓΑΛΟΥ ΣΑΒΒΑΤΟΥ ΤΟΥ 387 ΕΤΟΥΣ

Οὕτω τὴν νύκτα τοῦ Ἁγίου καὶ Μεγάλου Σαββάτου τοῦ 387, γεγονὸς μέγα τῇ Ἁγίᾳ τοῦ Χριστοῦ συνέβαινεν Ἐκκλησίᾳ· ὁ Καθηγητὴς τῆς Ῥητορικῆς, ὁ μέγας Αὐγουστῖνος, ἐκ τῶν χειρῶν τοῦ ἱεροῦ Ἀμβροσίου, ὑπὸ τὰ μυστηριώδη καὶ συμβολικὰ φῶτα τῆς ἀγρυπνίας τοῦ Πάσχα (²), ἐδέχετο τὸ ἅγιον Βάπτισμα (³).

(¹) Specht. Kirchengeschichte. 1877. σ. 47.

(²) Σημειωτέον ὅτι κατ' αὐτὴν τὴν ἡμέραν τοῦ ἁγίου καὶ Μεγάλου Σαββάτου, ὁ ἱερὸς Ἀμβρόσιος, τὴν 11 τῆς μεσημβρίας, δέκα ἔτη μετὰ τὴν βάπτισιν τοῦ ἱεροῦ Αὐγουστίνου, προσευχόμενος, παρέδωκε τὸ πνεῦμα εἰς Κύριον († 397.) ἀναβὰς οὕτως, ὅπως συνεορτάσῃ τὸ Πάσχα ἐν τῇ ἄνω Ἱερουσαλήμ, μετ' Αὐτοῦ τοῦ Παμβασιλέως Χριστοῦ· περὶ τοῦ ἱεροῦ Ἀμβροσίου δὲ καὶ ὁ μέγας Βασίλειος ἐν τῇ νε'. ἐπιστολῇ αὐτοῦ, λέγει : «Αὐτὸς σὲ ὁ Κύριος ἀπὸ τῶν Κριτῶν τῆς γῆς, ἐπὶ τὴν προεδρίαν τῶν Ἀποστόλων μετέθηκεν.». (πρβ. Goldwitz. Patrologie. Τόμ. I. σ. 508 καὶ Μελετ. Ἐκκλ. Ἱστορ. Α'. σελ. 420).

(³) Μετὰ τούτου συνεβαπτίσθη καὶ ὁ υἱὸς αὐτοῦ Ἀδεόδατος, ὡς καὶ ὁ ἐπιστήθιος φίλος αὐτοῦ Ἀλύπιος. (Goldwitz. Patrologie. II. σελ. 101.) Πικρῶς δὲ θρηνήσας τὸν πρότερον βίον αὐτοῦ ὁ ἱερὸς Αὐγουστῖνος, ἀφιερώθη ὅλος τῷ Κυρίῳ· μετ' οὐ πολὺ κατὰ τὸ αὐτὸ ἔτος 387, τῷ 54 τῆς ἡλικίας αὐτῆς ἔτει ἐκοιμήθη ἐν Κυρίῳ ἡ σεπτὴ Μήτηρ αὐτοῦ Μόνικα, δικαίως τιμηθεῖσα ἐν τῷ χορῷ τῶν ἁγίων (Μαΐου 4. S. Monicae viduae.). Αὐτὸς δὲ γενόμενος Ἐπίσκοπος τῆς ἐν Ἀφρικῇ Ἱππῶνος, τῷ 430 ἐτελεύτησεν ἐν Κυρίῳ, μέγας κληθεὶς τῆς Ἐκκλησίας Πατὴρ καὶ ἰδίᾳ, Διδάσκαλος τῆς χάριτος (Doctor gratiae.), οὗ τὴν μνήμην ἡ μὲν Δυτικὴ Ἐκκλησία τελεῖ τῇ 28 Αὐγούστου, ἡμεῖς δὲ τῇ 11 Ἰουνίου.

Κατὰ τὴν στιγμὴν ταύτην, ὑπὸ τοὺς ἁγίους τούτους θόλους τῆς Ἐκκλησίας τῶν Μεδιολάνων, συνηντήθησαν δύο μεγάλοι τῆς πνευματικῆς ἰσχύος τῆς Ἐκκλησίας Λέοντες, δύο μεγαλόφωνοι κήρυκες, ὧν οἱ θεσπέσιοι λόγοι διὰ πάντων τῶν αἰώνων, ἀφυπνίζουσι καὶ ἐξεγείρουσι τὰ πλήθη καὶ τοὺς λαοὺς τοῦ Κυρίου.

### ΩιΔΗ ΤΟΥ ΥΜΝΟΥ

Κατὰ τὴν ἁγίαν δὲ ταύτην νύκτα, καθ' ἣν στιγμὴν ὁ ἱερὸς Αὐγουστῖνος ἀνέβη τῶν ὑδάτων τῆς ἱερᾶς κολυμβήθρας, λέγεται ὅτι ὁ ἱερὸς Ἀμβρόσιος ἔψαλε τὴν δοξολογίαν ταύτην, εὐχαριστῶν τὸν Θεὸν ἐπὶ τῇ εἰς τὸν Χριστιανισμὸν προσελεύσει τοῦ ἱεροῦ Αὐγουστίνου, ἢ κατ' ἄλλους, ὅτι ἀμφότεροι οἱ ἅγιοι οὗτοι ἄνδρες, μετὰ τὴν τέλεσιν τοῦ μυστηρίου τοῦ ἁγίου Βαπτίσματος, θεόθεν ἐμπνευσθέντες, (divinitus inspirati), κατ' ἀντιφωνίαν, συνέψαλλον τὴν δοξολογίαν ταύτην, ἀπὸ κοινοῦ οὕτως, ὡς καλλικέλαδοι τοῦ Κυρίου ἀηδόνες, ἀποδίδοντες τὰς ἑαυτῶν εὐχαριστίας τῷ Ὑψίστῳ.

Τὴν παράδοσιν ταύτην τὸ πρῶτον μανθάνομεν ἐκ τοῦ Χρονικοῦ τοῦ Ἐπισκόπου Μεδιολάνων Δατίου († 553), [1] ὅπερ ὅμως τινες θεωροῦσιν ὡς μεταγενέστερον ἔργον τοῦ ια' αἰῶνος [2].

Ὡσαύτως ἐν τέλει τοῦ ψαλτηρίου, ὅπερ Κάρολος ὁ Μέγας τῷ 772 ἔπεμψε τῷ Πάπα Ἀδριανῷ, τῷ νῦν ἐν Βιέννῃ εὑρισκομένῳ, ἀναγινώσκομεν περὶ τοῦ Ὕμνου τούτου: Hymnus, quem S. Ambrosius et S. Augustinus invicem composuerunt: ὡς καὶ ἐν ἀρχαίῳ ὑμνολογικῷ χειρογράφῳ

(1) Χρονικὸν Δατίου Ι. 10.

(2) Mabbilon. Analecta vet. I. 487. ἔκδ. Baron. 1723.



